Filiorum verò imperium,& vxoris, & domus totius, quam vocamus rei familiaris gubernationem, aut gratia eſt eorum qui gubernantur, aut gratia alicuius, quod ſit vtriſque commune. Gratia eorum qui gubernantur, vt videmus & alias artes, ceu medicinam & gymnaſticam illorum quibus imperatur, vtilitatem quærere: contingenter tamen & eorum qui præcipiũt, eſſe poteſt. nihil quippe vetat, magiſtrum ipſum gymnaſij eſſe vnum eorum qui exercentur, quemadmodũ gubernator ſemper eſt vnus ex his qui ſunt in naui. Magiſter igitur gymnaſij & gubernator conſiderant ſemper eorum vtilitatem quos gubernant: ſed quando horum vnus eſt, per accidens ipſe quoque ſuſcipit vtilitatem, hic quidem nauta, ille autem vnus eorum qui gymnaſio exercentur. Quapropter ciuilia quoque imperia, cùm ſint ſecundum æqualitatem ciuium conſtituta & ſecundum paritatem, viciſſim exigunt ea gerere, quà natura fert: cenſentes inuicem munera ſubire, & conſiderare viciſſim quoddam illius bonum, quemadmodum ille priùs dum præeſſet, conſiderauit vtilitatem iſtius nunc autem ratione cõmodorum ex reipub. gubernatione prouenientium, volunt continuo in poteſtate eſſe velut ſi ſemper contingeret magiſtratum gerentibus ex valetudinariis ante, ſanos degere: nam forſan ita magiſtratus amplecterentur. Conſtat igitur quòd quæcunque reſpublicæ ad communem vtilitatem intendunt, hæ certè rectè ſunt ſecundum ſimpliciter iuſtum: quæcunque verò ad propriam eorum qui præſunt vtilitatem ſolum, aberrãt, quidem, ſúntque omnes rectarum rerumpublicarum tranſgreſſiones & labes. gubernãtur enim quaſi à dominis: ciuitas autem eſt liberorum ſocietas.

CAPVT VII.

His determinatis, conſequens eſt reſpublicas, cõſiderare, quot ſunt & quę: & primo quidem eas quæ ſunt rectæ: nam labes earum ex illis pateſcunt. Cùm verò gubernatio ciuitatis & regimen idem ſignificent: regimen autem eſt poteſtas ciuitatis: neceſſe eſt poteſtatem huiuſmodi aut penes vnum eſſe, aut penes paucos, aut penes multos. Quando igitur vnus, vel pauci, vel multi communem vtilitatem in gubernatione ſequuntur, has eſſe rectas rerumpublicarum ſpecies neceſſe eſt. quando autem ad propriam vtilitatem vel vnius vel paucorum, vel multitudinis gubernatur, tranſgreſſiones ſunt & labes. Aut enim dicendum eſt non eſſe ciues, aut participationem vti-

A ἡ δὲ τέκνων ἀρχὴ καὶ γυναικὸς καὶ τῆς οἰκίας πάσης, ἣν δὴ καλοῦμεν οἰκονομικὴν, ἤτοι τῶν ἀρχομένων χάριν ἐστὶν, ἢ κοινοῦ τινος ἀμφοῖν· καθ' αὐτὸ μὲν, τῶν ἀρχομένων, ὥσπερ ὁρῶμεν καὶ τὰς ἄλλας τέχνας, οἷον ἰατρικὴν, καὶ γυμναστικήν· κατὰ συμβεβηκὸς δὲ, κἂν αὐτῶν εἶεν. οὐδὲν γὰρ κωλύει τὸν παιδοτρίβην ἕνα τῶν γυμναζομένων ἐνίοτ' εἶναι καὶ αὐτὸν, ὥσπερ ὁ κυβερνήτης εἷς ἐστιν ἀεὶ τῶν
B πλωτήρων. ὁ μὲν οὖν παιδοτρίβης ἢ κυβερνήτης, σκοπεῖ τὸ τῶν ἀρχομένων ἀγαθόν· ὅταν δὲ τούτων εἷς γίνηται καὶ αὐτὸς κατὰ συμβεβηκὸς μετέχει τῆς ἀσφαλείας· ὁ μὲν γὰρ, πλωτήρ· ὁ δὲ, τῶν γυμναζομένων εἷς γίνεται, παιδοτρίβης ὤν. διὸ καὶ τὰς πολιτικὰς ἀρχὰς, ὅταν ᾖ κατ' ἰσότητα τῶν πολιτῶν συνεστηκυῖα καὶ καθ' ὁμοιότητα, κατὰ μέρος ἀξιοῦσιν
C ἄρχειν· πρότερον μὲν, ᾗ πέφυκεν, ἀξιοῦντες ἐν μέρει λειτουργεῖν, καὶ σκοπεῖν τινα πάλιν τὸ αὐτοῦ ἀγαθὸν, ὥσπερ πρότερον αὐτὸς ἄρχων ἐσκόπει τὸ ἐκείνου συμφέρον· νῦν δὲ διὰ τὰς ὠφελείας τὰς ἀπὸ τῶν κοινῶν, καὶ τὰς ἐκ τῆς ἀρχῆς, βούλονται συνεχῶς ἄρχειν· οἷον εἰ συνέβαινεν ὑγιαίνειν ἀεὶ τοῖς ἄρχουσι, νοσακεροῖς οὖσι. καὶ γὰρ ἂν οὕτως ἴσως
D ἐδίωκον τὰς ἀρχάς. φανερὸν τοίνυν ὡς ὅσαι μὲν πολιτεῖαι τὸ κοινῇ συμφέρον σκοποῦσιν, αὗται μὲν ὀρθαὶ τυγχάνουσιν οὖσαι κατὰ τὸ ἁπλῶς δίκαιον· ὅσαι δὲ τὸ σφέτερον μόνον τῶν ἀρχόντων, ἡμαρτημέναι πᾶσαι, καὶ παρεκβάσεις τῶν ὀρθῶν πολιτειῶν· δεσποτικαὶ γάρ. ἡ δὲ πόλις, κοινωνία τῶν ἐλευθέρων ἐστί.

E

Κεφάλαιον ζ.

Διωρισμένων δὲ τούτων, ἐχόμενόν ἐστι τὰς πολιτείας ἐπισκέψασθαι, πόσαι τὸν ἀριθμὸν, καὶ τίνες εἰσὶ, καὶ πρῶτον τὰς ὀρθὰς αὐτῶν. καὶ γὰρ αἱ παρεκβάσεις ἔσονται φανεραὶ τούτων διορισθεισῶν. ἐπεὶ δὲ πολιτεία μὲν καὶ πολίτευμα σημαίνει ταὐτόν· πολίτευμα δ' ἐστὶ τὸ κύριον τῶν πόλεων· ἀ-
F νάγκη δ' εἶναι κύριον ἢ ἕνα, ἢ ὀλίγους, ἢ τοὺς πολλούς· ὅταν μὲν ὁ εἷς ἢ οἱ ὀλίγοι, ἢ οἱ πολλοὶ πρὸς τὸ κοινὸν συμφέρον ἄρχωσι, ταύτας μὲν ὀρθὰς ἀναγκαῖον εἶναι τὰς πολιτείας· τὰς δὲ πρὸς τὸ ἴδιον, ἢ τοῦ ἑνὸς, ἢ τῶν ὀλίγων, ἢ τοῦ πλήθους, παρεκβάσεις. ἢ γὰρ οὐ πολίτας φατέον εἶναι τοὺς μετέχοντας, ἢ δεῖ κοινωνεῖν

τοῦ συμφέ-